Βέσσοι. Μαῖδοι.

Δανθηλῆται. Ἀγριᾶνες. Αἷμος. Ῥοδόπη. Κρόβυζοι. 38

« ὑπεροικοῦσι δ᾽ ἤδη τε (Μυσοὶ) καὶ Κρόβυζοι καὶ οἱ Τρωγλοδύται λεγόμενοι τῶν περὶ Κάλλατιν καὶ Τομέα καὶ Ἴστρον τόπων· εἶθ᾽ οἱ περὶ τὸν Αἷμον καὶ οἱ ὑπ᾽ αὐτῷ οἰκοῦντες μέχρι τοῦ Πόντου Κοραλλοὶ καὶ Βέσσοι καὶ Μαίδων τινὲς καὶ Δανθηλητῶν. πάντα μὲν οὖν ταῦτα λῃστρικώτατα ἔθνη, Βέσσοι δέ, οἵπερ τὸ πλέον τοῦ ὄρους νέμονται τοῦ Αἵμου, καὶ ὑπὸ τῶν λῃστῶν λῃσταὶ προσαγορεύονται, καλυβῖταί τινες καὶ λυπρόβιοι, συνάπτοντες τῇ τε Ῥοδόπῃ καὶ τοῖς Παίοσι καὶ τῶν Ἰλλυριῶν τοῖς τε Αὐταριάταις καὶ τοῖς Δαρδανίοις. μεταξὺ δὲ τούτων καὶ τῶν Ἀρδιαίων οἱ Δασαρήτιοι καὶ Ἀγριᾶνες καὶ ἄλλα ἄσημα ἔθνη, ἃ ἐπόρθουν οἱ Σκορδίσκοι μέχρι ἠρήμωσαν τὴν χώραν καὶ δρυμῶν ἀβάτων ἐφ᾽ ἡμέρας πολλὰς ἐποίησαν μεστήν. » Στραβ. Ζ. 318.

« παροικοῦσι δὲ τὸν Ἕβρον Κορπίλοι καὶ Βρέναι ἔτι ἀνωτέρω, εἶθ᾽ ἔσχατοι Βέσσοι· μέχρι γὰρ δεῦρο ὁ ἀνάπλους. ἅπαντα δὲ τὰ ἔθνη λῃστρικὰ ταῦτα, μάλιστα δ᾽ οἱ Βέσσοι, οὓς λέγει γειτονεύειν Ὀδρύσαις καὶ Σαπαίοις. » „ 331. 48

« Τετραχωρῖται, οἱ Βέσσοι, ὡς Στράβων ἑβδόμῃ. οἳ λέγονται καὶ Τετράκωμοι. Stephanus v. Τετραχωρῖται. » „ 58ª

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Βέσσοι.

C. 318. Μετὰ δὲ τὴν τῶν Σκορδίσκων χώραν κατὰ Στράβωνα παρὰ τὸν Ἴστρον ἡ τῶν Τριβαλλῶν καὶ Μυσῶν ἐστιν, Ζ. Σελ 437
. . . . . ὑπέρκεινται δὲ τούτων οἵ τε Κρόβυζοι καὶ οἱ Τρωγλοδύται λεγόμενοι τῶν περὶ Κάλλατιν καὶ Τόμεα καὶ Ἴστρον τόπων. εἶθ' οἱ περὶ τὸν Αἷμον καὶ οἱ ὑπ' αὐτὸν οἰκοῦντες μέχρι τοῦ Πόντου Κόραλλοι καὶ Βέσσοι καὶ Μαίδων τινὲς καὶ Δανθηλητῶν. πάντα μὲν οὖν ταῦτα λῃστρικώτατα ἔθνη, Βέσσοι δέ, οἵπερ τὸ πλέον τοῦ ὄρους νέμονται τοῦ Αἵμου, καὶ ὑπὸ τῶν λῃστῶν λῃσταὶ προσαγορεύονται, καλυβῖταί τινες καὶ λυπρόβιοι, συνάπτοντες τῇ τε Ῥοδόπῃ καὶ τοῖς Παίοσι καὶ τῶν Ἰλλυριῶν τοῖς τε Αὐταριάταις καὶ τοῖς Δαρδανίοις. μεταξὺ δὲ τούτων καὶ τῶν Ἀρδιαίων οἱ Δασσαρήτιοί εἰσι καὶ Ὑβριάνες καὶ ἄλλα ἄσημα ἔθνη . . .

Παροικοῦσι δὲ τὸν Ἕβρον Κορπίλλοι καὶ Βρέναι ἔτι ἀνωτέρω, εἶθ' ἔσχατοι Βέσσοι· μέχρι γὰρ δεῦρο ὁ ἀνάπλους. ἅπαντα δὲ τὰ ἔθνη λῃστρικὰ ταῦτα, μάλιστα δ' οἱ Βέσσοι, οὕς λέγει γειτονεύειν Ὀδρύσαις καὶ Σαπαίοις. Σελ 468.

# Βέσσοι. Βεσσοί.

Στεφ. 472. 58. Τετραχωρῖται, οἱ Βεσσοί, ὡς Στράβων ἑβδόμῃ· οἱ λέγονται καὶ Τετρακωμῖται. Stephanus v. Τετραχωρῖται.

Δίων Κάσσιος 51. 24. «.. τὰ δ' ἄλλα πλὴν τῶν Ὀδρυσῶν, κατέδραμε (Κράσσος)· ἐκείνων γάρ, ὅτι τῷ τε Διονύσῳ προσκεῖσθαι, καὶ τότε ἄνευ τῶν ὅπλων ἀπήντησαν οἱ, ἐφείσατο· καὶ αὐτοῖς καὶ τὴν χώραν ἐν ᾗ καὶ τὸν θεὸν ἀγάλλουσιν, ἐχαρίσατο, Βησσοὺς τοὺς κατέχοντας αὐτὴν ἀφελόμενος.

LIV 20. (Λευκίου Δομιτίου καὶ Πουπλίου Σκιπίωνος ὑπατευόντων) Πολλὰ μὲν οὖν καὶ ἄλλα κατὰ τὸν χρόνον ἐκεῖνον ἐταράχθη). . . . καὶ ἡ Μακεδονία ὑπό τε τῶν Δενθελητῶν καὶ ὑπὸ τῶν Σκορδίσκων ἐπορθήθη. ἔν τε τῇ Θρᾴκῃ πρότερον μὲν Μάρκελλος Λόλλιος, Ῥυμητάλκῃ θείῳ τε τῶν τε Κότυος παίδων καὶ ἐπιτρόπῳ ὄντι βοηθῶν, Βησσοὺς κατεστρέψατο.»